ἀδεῶς, ὅτι πρὸς χρῆσιν τῶν κρεῶν τὸ αἷμα τις κινῶ-
σαι θέλει, κέκραγε, μὴ ἔχων τι ἕτερον προσθεῖναι.
οἱ δὲ σχολαστικοὶ γελά θαυμάσαντες, ἐπῄνεσαν αὐτόν.
καὶ οὕτως ἀνέλυσαν τοῦ δείπνου. ὁ δὲ Ξάνθος εἰσ-
ελθὼν πρὸς τὴν γυναῖκα αὐτοῦ ἐν τῇ κοιτῶνι ἐ-
κολάκευεν αὐτήν. ἡ δὲ αὐτὸν ἀπεστρέφετο, καὶ φη-
σί, μὴ θίγῃς μοι. δός μοι τὴν προῖκα μου, οὐ μένω
μετὰ σοῦ. ἀπελθὼν, τὴν κύνα κολάκευε ἐν ᾗ τὰ μέρη
πέπομφας. ὁ δὲ Ξάνθος ἐν ἑαυτῷ γενόμενος, φη-
σί, τί ποτε μοι πάλιν ἤρτυσεν Αἴσωπος, καὶ φη-
σί, κυρία, ἐγὼ πέπωκα, καὶ σὺ μεθύεις, τίνι ἔστειλα
τὰ μέρη; οὐχί; ἡ δέ, οὐκ ἐμοί, φησί, ἀλλὰ τῇ κυνί.
Ξάνθος εἶπεν, Αἴσωπόν μοι τις καλεσάτω. ἐλθόν-
τος δὲ αὐτοῦ, λέγει αὐτῷ, τίνι ἔδωκας τὰ μέρη; ὁ
δὲ ἔφη, τῇ εὐνοούσῃ. ὁ Ξάνθος φησί, οὐδὲν ἔλαβε.

⁘ vel σαυτοῦ, macula enim vox erat obliterata.